2 Peter

The purpose of this apparatus is to show all variation within **Family 35**, for 2 Peter, as identified by a complete collation of the following forty-three representative MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1858, 1864, 1865, 1876, 1892, 1897, 2221, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined.  35, 1725, 1864, 2554 and 2723 have no variants.

# ΠΕΤΡΟΥ Β[1]

*[To fellow believers]*

**1**.1 Συμεων Πετρος, δουλος και αποστολος Ιησου Χριστου, τοις ισοτιμον ἡμιν[2] λαχουσιν πιστιν
εν δικαιοσυνη του Θεου ἡμων και Σωτηρος, Ιησου Χριστου: 2 Χαρις ὑμιν και ειρηνη πληθυνθειη
εν επιγνωσει του Θεου και Ιησου του Κυριου ἡμων, 3 ὡς παντα ἡμιν[3] της θειας δυναμεως αυτου
τα προς ζωην και ευσεβειαν δεδωρημενης,[4] δια της επιγνωσεως του καλεσαντος ἡμας[5] δια δοξης
και αρετης, 4 δι' ὧν τα τιμια ἡμιν[6] και μεγιστα επαγγελματα δεδωρηται, ἱνα δια τουτων γενησθε
θειας κοινωνοι φυσεως, αποφυγοντες της[7] εν κοσμω εν επιθυμια φθορας.

[Take the Truth seriously!]

*[Our 'entrance' depends on us]*

**1**.5 Και αυτο δε τουτο, σπουδην πασαν παρεισενεγκαντες,[8] επιχορηγησατε εν τη πιστει ὑμων την
αρετην, εν δε τη αρετη την γνωσιν, 6 εν δε τη γνωσει την εγκρατειαν, εν δε τη εγκρατεια την
ὑπομονην, εν δε τη ὑπομονη την ευσεβειαν, 7 εν δε τη ευσεβεια την φιλαδελφιαν, εν δε τη
φιλαδελφια την αγαπην. 8 Ταυτα γαρ ὑμιν[9] ὑπαρχοντα και πλεοναζοντα, ουκ αργους ουδε
ακαρπους καθιστησιν[10] εις την του Κυριου ἡμων Ιησου Χριστου επιγνωσιν. 9 Ὡ γαρ μη παρεστιν
ταυτα τυφλος εστιν, μυωπαζων, ληθην λαβων του καθαρισμου των παλαι αυτου[11] ἁμαρτιων.

10 Διο μαλλον, αδελφοι, σπουδασατε βεβαιαν ὑμων την κλησιν και εκλογην ποιεισθαι,
ταυτα γαρ ποιουντες ου μη πταισητε[12] ποτε. 11 Οὑτως γαρ πλουσιως επιχορηγηθησεται ὑμιν ἡ
εισοδος εις την αιωνιον[13] βασιλειαν του Κυριου ἡμων και Σωτηρος Ιησου Χριστου.

*[Peter's death imminent]*

12 Διο ουκ αμελησω[14] αει ὑμας[15] ὑπομιμνησκειν περι τουτων, καιπερ ειδοτας και
εστηριγμενους εν τη παρουση αληθεια. 13 Δικαιον δε ἡγουμαι, εφ' ὁσον ειμι εν τουτω τω
σκηνωματι, διεγειρειν ὑμας εν ὑπομνησει, 14 ειδως ὁτι ταχινη[16] εστιν ἡ αποθεσις του σκηνωματος
μου, καθως και ὁ Κυριος ἡμων Ιησους Χριστος εδηλωσεν μοι. 15 Σπουδασω δε και ἑκαστοτε εχειν
ὑμας, μετα την εμην εξοδον, την τουτων μνημην ποιεισθαι.

*[The prophetic Word is trustworthy]*

16 Ου γαρ σεσοφισμενοις μυθοις εξακολουθησαντες εγνωρισαμεν ὑμιν την του Κυριου
ἡμων Ιησου Χριστου δυναμιν και παρουσιαν· αλλ' εποπται γενηθεντες της εκεινου μεγαλειοτητος
17—λαβων γαρ παρα Θεου Πατρος τιμην και δοξαν **φωνης** ενεχθεισης[17] αυτω τοιασδε ὑπο της
μεγαλοπρεπους δοξης, "Οὑτος εστιν ὁ Υἱος μου, ὁ αγαπητος, εις ὃν εγω[18] ευδοκησα"—18 και
ταυτην την **φωνην** ἡμεις ηκουσαμεν εξ ουρανου ενεχθεισαν[19] συν αυτω οντες εν τω ορει τω ἁγιω.

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] ημιν || υμιν 141,1761
[3] ημιν || υμιν 604,1768
[4] δεδωρημενης || δεδωρημενοις 204
[5] ημας || υμας 1075
[6] ημιν || υμιν (3.4%) 1248,2352
[7] της || τοις 2431
[8] παρεισενεγκαντες || παρεισενεγκοντες 2466
[9] υμιν || --- 1897
[10] καθιστησιν || καθιστισιν 1876
[11] αυτου || --- 1248
[12] πταισητε || πταισεται 204
[13] αιωνιον || --- 328
[14] αμελησω || εμελησω 1248
[15] αει υμας 604c || ~ 21 [3%] 432,604,1768
[16] ταχινη || ταχεινη 394,432,604,1100,1768,2221
[17] ενεχθεισης || ενεγχθεισης 394.928,1249,1548 [Hellenistic spelling]
[18] εγω || --- 986
[19] ενεχθεισαν || ενεγχθεισαν 928,1249,1548

19 Και εχομεν βεβαιοτερον τον προφητικον λογον, ᾧ καλως ποιειτε[1] προσεχοντες ὡς
λυχνω φαινοντι εν αυχμηρω τοπω, ἑως οὗ ἡμερα διαυγαση[2] και φωσφορος ανατειλη εν ταις
καρδιαις ὑμων· 20 τουτο πρωτον γινωσκοντες,[3] ὁτι πασα προφητεια Γραφης ιδιας επιλυσεως ου
γινεται· 21 ου γαρ θεληματι ανθρωπου ηνεχθη[4] ποτε προφητεια, αλλ’ ὑπο Πνευματος ῾Αγιου
φερομενοι ελαλησαν ἁγιοι Θεου ανθρωποι.

## [Watch out for false teachers!]

*[Their teachings are destructive]*

2.1 Εγενοντο δε και ψευδοπροφηται εν τω λαω, ὡς και εν ὑμιν εσονται ψευδοδιδασκαλοι, οἱτινες
παρεισαξουσιν αἱρεσεις απωλειας, και τον αγορασαντα αυτους Δεσποτην αρνουμενοι (επαγοντες
ἑαυτοις ταχινην[5] απωλειαν). 2 Και πολλοι εξακολουθησουσιν[6] αυτων ταις ασελγειαις, δι’ ἁς[7] ἡ
ὁδος της αληθειας βλασφημηθησεται. 3 Και εν πλεονεξια πλαστοις λογοις ὑμας εμπορευσονται· οἱς
το κριμα εκπαλαι ουκ αργει, και ἡ απωλεια αυτων ου νυσταξει.

*[Their doom is sure]*

4 Ει γαρ ὁ Θεος αγγελων ἁμαρτησαντων ουκ εφεισατο,[8] αλλα σειραις ζοφου ταρταρωσας
παρεδωκεν εις κρισιν τηρουμενους, 5 και αρχαιου κοσμου ουκ εφεισατο αλλ’ ογδοον Νωε
δικαιοσυνης κηρυκα εφυλαξεν, κατακλυσμον κοσμω ασεβων επαξας, 6 και πολεις Σοδομων και
Γομορρας τεφρωσας καταστροφη κατεκρινεν (ὑποδειγμα μελλοντων ασεβειν τεθεικως), 7 και
δικαιον Λωτ, καταπονουμενον ὑπο της των αθεσμων εν ασελγεια αναστροφης, ερρυσατο
8 (βλεμματι γαρ και ακοη ὁ δικαιος, εγκατοικων εν αυτοις, ἡμεραν εξ ἡμερας ψυχην δικαιαν[9]
ανομοις εργοις εβασανιζεν) 9—οιδεν Κυριος ευσεβεις εκ πειρασμων ῥυεσθαι, αδικους δε εις
ἡμεραν κρισεως κολαζομενους τηρειν, 10 μαλιστα δε τους οπισω σαρκος εν[10] επιθυμια μιασμου
πορευομενους, και κυριοτητος καταφρονουντας.

*[Their depravity is ‘unreal’]*

Τολμηται, αυθαδεις, δοξας ου τρεμουσιν βλασφημουντες, 11 ὁπου αγγελοι, ισχυι και
δυναμει μειζονες οντες, ου φερουσιν κατ’ αυτων παρα Κυριω βλασφημον κρισιν. 12 Οὑτοι δε, ὡς[11]
αλογα ζωα, γεγενημενα φυσικα[12] εις ἁλωσιν[13] και φθοραν, εν οἱς αγνοουσιν βλασφημουντες,[14] εν
τη φθορα αυτων καταφθαρησονται, 13 κομιουμενοι μισθον αδικιας. ῾Ηδονην ἡγουμενοι την εν
ἡμερα τρυφην, σπιλοι και μωμοι, εντρυφωντες[15] εν ταις απαταις αυτων συνευωχουμενοι[16] ὑμιν,
14 οφθαλμους εχοντες μεστους μοιχαλιδος και ακαταπαυστους ἁμαρτιας, δελεαζοντες ψυχας
αστηρικτους· καρδιαν γεγυμνασμενην πλεονεξιας[17] εχοντες, καταρας τεκνα· 15 καταλιποντες[18]
ευθειαν[19] ὁδον επλανηθησαν, εξακολουθησαντες τη ὁδω του Βαλααμ[20] του Βοσορ,[21] ὃς μισθον
αδικιας ηγαπησεν· 16 ελεγξιν δε εσχεν ιδιας παρανομιας —ὑποζυγιον αφωνον εν ανθρωπου φωνη
φθεγξαμενον[22] εκωλυσεν την του προφητου παραφρονιαν. 17 Οὑτοι εισιν πηγαι ανυδροι, νεφελαι
ὑπο λαιλαπος ελαυνομεναι, οἱς ὁ ζοφος του σκοτους εις αιωνας τετηρηται.

---

1 ποιειτε || ποιειται 1548
2 διαυγαση || διαυγασει 328,386,394,1754,2587 (1100 illegible)
3 πρωτον γινωσκοντες || προγινωσκοντες 1503
4 ηνεχθη || ηνεγχθη 394,928,986,1249,1548
5 ταχινην || ταχεινην 604,1100alt,2221
6 εξακολουθησουσιν || εξακολουθησωσιν 386
7 ας || ους [80%] 1892c,2466 (I believe ECM has misrepresented 35 here.) || ου 2221
8 εφεισατο || αφεισατο 1248 (also in verse 5) || εφεισασατο 2431 (from one line to the next)
9 δικαιαν || δικαιου 2626
10 εν || --- 1768
11 ως || --- 1754
12 γεγενημενα φυσικα || ~ 21 [54%] 432,604,1768
13 ἁλωσιν || αλωσιν 149,201
14 βλασφημουντες || βλασφμουντες 1865
15 εντρυφωντες || εντρυφωντεν 1754
16 συνευωχουμενοι || συνευοχουμενοι 824
17 πλεονεξιας || πλεονεξιαν [2%] 394,928,1249,1855,1876,2587,2626
18 καταλιποντες 432c || καταλειποντες [9%] 432
19 ευθειαν || ευθειον 1248
20 βαλααμ || 1 και 2431
21 βοσορ || σοβορ 1248
22 φθεγξαμενον || φεγξαμενον 18

*[Their victims lose out]*

18 Ὑπερογκα γαρ ματαιοτητος φθεγγομενοι δελεαζουσιν εν επιθυμιαις σαρκος, ασελγειας,[1]
τους οντως[2] αποφυγοντας τους εν πλανη αναστρεφομενους, 19 ελευθεριαν αυτοις επαγγελλομενοι,[3]
αυτοι δουλοι ὑπαρχοντες της φθορας· ᾧ γαρ τις ἡττηται, τουτω και δεδουλωται. 20 Ει γαρ,
αποφυγοντες τα μιασματα του κοσμου εν επιγνωσει του Κυριου και Σωτηρος[4] Ιησου Χριστου,
τουτοις δε παλιν εμπλακεντες ἡττωνται, γεγονεν αυτοις τα εσχατα χειρονα των πρωτων.
21 Κρειττον γαρ ἠν αυτοις μη επεγνωκεναι[5] την ὁδον της δικαιοσυνης, ἡ επιγνουσιν[6] επιστρεψαι
εκ της παραδοθεισης[7] αυτοις ἁγιας εντολης. 22 Συμβεβηκεν δε αυτοις το της αληθους παροιμιας:
κυων επιστρεψας επι το ιδιον εξεραμα[8] και ὑς λουσαμενη εις κυλισμα βορβορου.

[So take the Truth seriously!!]

3.1 Ταυτην ηδη, αγαπητοι, δευτεραν ὑμιν γραφω επιστολην (εν αἱς διεγειρω[9] ὑμων εν ὑπομνησει
την εἱλικρινη[10] διανοιαν), 2 μνησθηναι των προειρημενων ῥηματων ὑπο των ἁγιων προφητων,
και της των αποστολων ὑμων[11] εντολης του Κυριου και Σωτηρος.

*[Scoffers will come]*

3 Τουτο πρωτον[12] γινωσκοντες:[13] ὁτι ελευσονται επ' εσχατου[14] των ἡμερων εμπαικται, κατα
τας ιδιας επιθυμιας[15] αυτων πορευομενοι 4 και λεγοντες: "Που εστιν ἡ επαγγελια της παρουσιας
αυτου? Αφ' ἡς γαρ οἱ πατερες εκοιμηθησαν παντα οὑτως διαμενει[16] απ' αρχης κτισεως."[17]
5 Λανθανει γαρ αυτους τουτο θελοντας, ὁτι ουρανοι ησαν εκπαλαι και[18] γη (εξ ὑδατος και δι'[19]
ὑδατος) συνεστωτα[20] τω του Θεου λογω, 6 δι' ὡν ὁ τοτε κοσμος ὑδατι κατακλυσθεις[21] απωλετο.

[This world will be destroyed]

7 Οἱ δε νυν ουρανοι, και ἡ[22] γη, τω αυτου λογω τεθησαυρισμενοι εισιν πυρι, τηρουμενοι
εις ἡμεραν κρισεως και απωλειας των ασεβων ανθρωπων.

[The Lord is longsuffering]

8 Ἑν δε τουτο μη λανθανετω ὑμας, αγαπητοι, ὁτι μια ἡμερα παρα Κυριω ὡς χιλια ετη,
και χιλια ετη ὡς ἡμερα μια. 9 Ου βραδυνει ὁ[23] Κυριος της επαγγελιας, ὡς τινες βραδυτητα
ἡγουνται, αλλα μακροθυμει εις ἡμας,[24] μη βουλομενος τινας απολεσθαι αλλα παντας εις μετανοιαν
χωρησαι.

[Hasten the day of God]

10 Ἡξει δε ἡ[25] ἡμερα Κυριου ὡς κλεπτης εν νυκτι, εν ᾗ ουρανοι ῥοιζηδον παρελευσονται,
στοιχεια[26] δε καυσουμενα λυθησονται—και γη και τα εν αυτη[27] εργα κατακαησεται. 11 Τουτων ουν
παντων λυομενων, ποταπους[28] δει ὑπαρχειν ὑμας[29] εν ἁγιαις αναστροφαις και ευσεβειαις,

---

[1] ασελγειας || ασηλγειας 149
[2] οντως || ολιγον 1892c
[3] επαγγελλομενοι || επαγγελομενοι 1865
[4] σωτηρος || 1 ημων (7.8%) 328
[5] επεγνωκεναι || επιγνωκεναι 149
[6] επιγνουσιν || --- 1754 [homoioarcton]
[7] παραδοθεισης || παραδοθησεις 1754 || παραδοθησης 1858
[8] εξεραμα 1892c || εξερεμα 1248 || εξερασμα [13%] 1892v
[9] διεγειρω || διεγειρων 1249,1876
[10] εἱλικρινη || ειλικρινη [80%] 149,201,432,604,1548,1761,1768,1876,2221
[11] υμων || ημων [28.8%] 604,1768,1876
[12] πρωτον || πρων 1754
[13] γινωσκοντες || γινωσκοντας 328,394,928,1249,1855,2587
[14] εσχατου || εσχατων [13%] 149,201
[15] επιθυμιας 141c || --- 141
[16] διαμενει || διαμενοι 1754
[17] κτισεως || κτησεως 2466
[18] και || --- 1072
[19] δι || --- [1%] 149,201,1768,1876
[20] συνεστωτα || συνεστωσα [76%] 1637,1732,1892,2431
[21] κατακλυσθεις || κατακλεισθεις 1768,2352
[22] η || --- 1754
[23] ο 2431c || --- [19%] 149,201,2431
[24] ημας || υμας [13%] 149,204,1768,1892
[25] η || --- [18%] 757
[26] στοιχεια || στοιχια 1732
[27] αυτη || αυτης 204
[28] ποταπους || ποταμους 432
[29] υμας || ημας [8.6%] 604,1248,1754,2352

12 προσδοκωντας και σπευδοντας την παρουσιαν της του Θεου ἡμερας, δι’ ἣν ουρανοι, πυρουμενοι,
λυθησονται, και στοιχεια[1] καυσουμενα τηκεται?[2]

[A better world is coming]

13 Καινους δε ουρανους και γην καινην κατα το επαγγελμα αυτου προσδοκωμεν,[3] εν οἷς
δικαιοσυνη κατοικει.

*[So be serious!]*

14 Διο, αγαπητοι, ταυτα προσδοκωντες, σπουδασατε ασπιλοι και αμωμητοι αυτω εὑρεθηναι
εν ειρηνη· 15 και την του Κυριου ἡμων μακροθυμιαν σωτηριαν ἡγεισθε—καθως και ὁ αγαπητος
ἡμων αδελφος[4] Παυλος, κατα την αυτω δοθεισαν[5] σοφιαν, εγραψεν ὑμιν,[6] 16 ὡς και εν πασαις
ταις επιστολαις (λαλων εν αυταις περι τουτων, εν οἷς[7] εισιν δυσνοητα τινα), ἃ οἱ αμαθεις και
αστηρικτοι[8] στρεβλουσιν, ὡς και τας λοιπας Γραφας, προς την ιδιαν αυτων απωλειαν. 17 Ὑμεις
ουν, αγαπητοι, προγινωσκοντες φυλασσεσθε,[9] ἱνα μη, τη των αθεσμων πλανη συναπαχθεντες,
εκπεσητε του ιδιου στηριγμου. 18 Αυξανητε δε εν χαριτι και γνωσει του Κυριου ἡμων και
Σωτηρος Ιησου Χριστου.

Αυτω ἡ δοξα και νυν και εις ἡμεραν αιωνος. Αμην

[1] στοιχεια $2532^{c}$ || 1 δε 1248,2352
[2] 1754 omits και στοιχεια καυσουμενα τηκεται [homoioteleuton]
[3] προσδοκωμεν || προσδοκωνμεν 2431 (apparently)
[4] ημων αδελφος || ~ 21 386
[5] αυτω δοθεισαν || ~ 21 [40%] 1892,2431
[6] υμιν || ημιν 1548
[7] οις || αις [17%] 1248
[8] αστηρικτοι || αστηρικτον $757^{v}$
[9] φυλασσεσθε || φυλασσθε 1897 || φυλασεσθε 1754